# Croy 22 - Exercises

1

ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πῦρ πεσεῖται ἀπὸ τοῦ οὐρανοῦ
καὶ ὁ ἄγγελος τοῦ φωτὸς ἀπαγγελεῖ
τὸν λόγον σαρκὶ πάσῃ.

2

γινώσκομεν ὅτι ἀποθανούμεθα,
ὅπου δὲ ἐλευσόμεθα; ἡμεῖς γὰρ
οὐκ ἐτηρήσαμεν τὰς ἐντολὰς τοῦ θεοῦ.

3

κρινεῖ ὁ θεὸς ἕκαστον ἡμῶν
ἐν τῇ ἡμέρᾳ τῇ ἐσχάτῃ,
ὀφείλομεν οὖν πολλάκις παρακάλειν ἀλλήλους.

4

ὑμεῖς μὲν προσκυνεῖτε δαιμονίοις,
ἡμεῖς δὲ προσκυνοῦμεν τῷ θεῷ τῷ ποιήσαντι
τὸ ὕδωρ καὶ τὴν γὴν καὶ πάντα ἐν αὐτοῖς.

5

ὁ σπείρων βαλεῖ τὸ σπέρμα ἐπὶ τὴν γὴν,
ἀλλὰ δοκοῦμεν ὅτι ὁ πονηρὸς ἐλεύσεται
καὶ ἀρεῖ αὐτό.

6

εὑρήσομεν ἐκεῖνον τὸν ἄνθρωπον καὶ
κρινοῦμεν αὐτὸν κατὰ τὸν ἡμέτερον νόμον·
αὐτὸς γὰρ ἔλαβε τὰ σὰ βιβία καὶ ἔφυγεν.

7

ἐρεῖτε τοὺς ἐμοὺς λόγους τοῖς ὄχλοις καὶ
ἀποστελεῖτε τοὺς ὑμετέρους δούλους
συναγάγειν τὰ τέκνα εἰς τὸ ἱερόν.

8

μενοῦμεν ἐν τῇ ἀληθείᾳ, ὁ θεὸς γὰρ ἀπέστειλεν
τὸν ἅγιον προφήτην αὐτοῦ
ἀπαγγέλλοντα ταῦτα.

9

τὸ ἔργον ἑκάστου κριθήσεται ἐν πυρί,

καὶ ὁ κύριος αὐτὸς ἐγερεῖ ἡμὰς ζῆν

ἐν τῷ φωτὶ μετ  ἀλλήλων.

10

βαλεῖτε τὸν ὑμέτερον ἄρτον ἐπὶ τὸ ὕδωρ καὶ

προσκυνήσετε τῷ υἱῷ τῆς δικαιοσύνης

ἐν τούτῳ τῷ τόπῳ.

11

οἱ ἁμαρτωλοὶ ἐκεῖνοι δοκοῦσιν ὅτι

τηροῦντες τὰς ἀνθρώπων ἐντολὰς

εὑρήσουσι χάριν μετὰ θεοῦ.

12

ἐν τῷ σῷ ὀνόματι, κύριε, ἐσπείραμεν

σπέρματα τῆς εἰρήνης,

ἀλλὰ μενεῖ τὸ ἔργον τὸ ἡμέτερον;

13

ὁ κύριος ἀπέστειλεν τὴν ἐμὴν ἀδελφὴν ὅπου
οὐκ ἔθελεν ἐλθεῖν, ἀλλ  ἔμεινεν ἐκεῖ καὶ
ἀπήγγειλεν τὸ πᾶν θέλημα τοῦ θεοῦ.

14

οἱ δοκοῦντες ἔχειν τὸ πῦρ τοῦ πνεύματος
ἦραν τὰς χεῖρας καὶ προσηύξαντο τῷ θεῷ.

NT 1 – 1 John 1.7

ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν
ὡς αὐτός ἐστιν ἐν τῷ φωτί,
κοινωνίαν ἔχομεν μετ᾽ ἀλλήλων

NT 7 – John 4.20

οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν·
καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις
ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ.

NT 10 – John 15.20

εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν·

εἰ τὸν λόγον μου ἐτήρησαν,

καὶ τὸν ὑμέτερον τηρήσουσιν.